ἀντικειμένην, συμπαραλαμβανομένων πρὸς τὴν οἰκείωσιν, καὶ τῶν ἐν τοῖς οἰκείοις τριγώνοις τὴν οἰκοδεσποτίαν ἐχόντων ἀστέρων, ἐπὶ μὲν τῶν ἄλλων οἰκήσεων πάλιν αὐτῶν μόνον, ἐπὶ δὲ τῶν περὶ τὸ μέσον τῆς οἰκουμένης, κἀκείνων, καὶ ἔτι τοῦ τοῦ ☿, διὰ τὸ μέσον καὶ κοινὸν αὐτὸν ὑπάρχειν τῶν αἱρέσεων. ἐν δὲ τῇ τοιαύτῃ διατάξει τὰ μὲν ἄλλα μέρη τοῦ πρώτου τῶν τεταρτημορίων, λέγω δὲ τοῦ κατὰ τὴν εὐρώπην, τὰ πρὸς βορρόλιβα κείμενα τῆς οἰκουμένης συνοικειοῦται μὲν τῷ βορρολιβυκῷ ∇ τῷ κατὰ τὸν ♈ καὶ ♌ καὶ ♐. καὶ οἰκοδεσποτεῖται εἰκότως ὑπὸ τῶν κυρίων τοῦ ∇ ♃ καὶ ♂ ἑσπερίων. ἔστι δὲ ταῦτα καθ' ὅλα ἔθνη λαμβανόμενα. βρετανία. γαλατία γερμανία. βασταρνία. ἰταλία. γαλλία. ἀπουλία. σικελία. τυρρηνία. κελτική. ἱσπανία. εἰκότως δὲ τοῖς προκειμένοις ἔθνεσιν ὡς ἐπίπαν, συμβέβηκε, διά τε τὸ ἀρχικὸν τοῦ ∇, καὶ τοὺς συνοικοδεσποτήσαντας ἀστέρας ἀνυποτάκτους τε εἶναι, καὶ φιλελευθέρους. καὶ φιλόπλους. καὶ φιλοπόνους καὶ πολεμικωτάτους, καὶ ἡγεμονικούς, καὶ καθαροὺς καὶ μεγαλοψύχους. διὰ μέντοι τὸ ἑσπέριον τοῦ κατὰ τὸν σχηματισμὸν ♃ καὶ ♂, καὶ ἔτι δὴ τὸ τοῦ προκειμένου ∇. τὰ μὲν ἔμπροσθια ἠρρενῶσθαι, τὰ δὲ ὀπίσθια τεθηλῦσθαι, πρὸς μὲν τὰς γυναῖκας ἀζήλους αὐτοὺς εἶναι, καὶ καταφρονητικοὺς τῶν ἀφροδισίων πρὸς δὲ τὴν τῶν ἀρρένων συνουσίαν καταφορωτέρους τε καὶ μᾶλλον ζηλοτύπους, αὐτοῖς δὲ τοῖς διατιθεμένοις μήτε αἰσχρὸν ἡγεῖσθαι τὸ γινόμενον, μήτε ὡς ἀληθῶς ἀνάνδρους δὴ τοῦτο καὶ μαλακοὺς ἀποβαίνειν, ἕνεκεν τοῦ μὴ παθητικῶς διατίθεσθαι, συντηρεῖν δὲ τὰς ψυχὰς ἐπανδρείους, κοινωνικάς, καὶ πιστὰς καὶ φιλοικείους καὶ εὐεργετικάς. Καὶ τούτων δὲ αὐτῶν τῶν χωρῶν βρετανία μὲν καὶ γαλατία καὶ γερμανία, καὶ βασταρνία μᾶλλον τῷ ♈ συνοικειοῦνται, καὶ τῷ τοῦ ♂. ὅθεν ὡς ἐπίπαν οἱ ἐν αὐταῖς ἀγριώτεροι καὶ αὐθαδέστεροι καὶ θηριώδεις τυγχάνουσιν. ἰταλία δὲ καὶ ἀπουλία, γαλλία καὶ σικελία τῷ ♌ καὶ τῷ ☉ διόπερ ἡγεμονικοὶ μᾶλλον οὗτοι καὶ εὐεργετικοὶ καὶ κοινωνικοί, τυρρηνία δὲ καὶ κελτικὴ καὶ ἱσπανία τῷ τοῦ ♐ καὶ τῷ τοῦ ♃. ὅθεν τὸ φιλοκάθαρον. τὰ δὲ ἐν τούτῳ μὲν ὄντα τῷ τεταρτημορίῳ, περὶ δὲ τὸ μέσον ἐσχηματισμένα τῆς οἰκουμένης, θρᾴκη τε καὶ μακεδονία καὶ ἰλλυρίς, καὶ ἑλλὰς καὶ ἀχαΐα καὶ κρήτη, ἔτι δὲ αἵ τε κυκλάδες καὶ τὰ παράλια τῆς μικρᾶς ἀσίας, καὶ κύπρος, πρὸς νοταπηλιώτην κείμενα τοῦ ὅλου τεταρτημορίου, προσλαμβάνει τὴν συνοικείωσιν τοῦ νοταπηλιωτικοῦ ∇ τοῦ κατὰ τὸν ♉ μὲν τὴν ♍ καὶ τὸν ♑. ἔτι δὲ καὶ συνοικοδεσποτοῦνται ὑπό τε τῆς ♀ καὶ